# VII Certamen “Giovanni Reale”

**28 novembre 2022**

## Reazione composta di fronte a parole offensive

**Pericle restava imperturbabile dinanzi a chi si rivolgeva a lui in malo modo**

Ὁ Περικλῆς οὐ μόνον τὸ φρόνημα σοβαρὸν καὶ τὸν λόγον ὑψηλὸν εἶχε καὶ καθαρὸν ὀχλικῆς καὶ πανούργου βωμολοχίας, ἀλλὰ καὶ προσώπου σύστασις[1] ἄθρυπτος εἰς γέλωτα καὶ πρᾳότης[1] πορείας καὶ καταστολὴ[1] περιβολῆς πρὸς οὐδὲν ἐκταραττομένη πάθος ἐν τῷ λέγειν καὶ πλάσμα[1] φωνῆς ἀθόρυβον καὶ ὅσα τοιαῦτα πάντας θαυμαστῶς ἐξέπληττε. Λοιδορούμενος γοῦν ποτε καὶ κακῶς ἀκούων ὑπό τινος τῶν βδελυρῶν καὶ ἀκολάστων ὅλην ἡμέραν ὑπέμεινε σιωπῇ κατ’ ἀγοράν, ἅμα τι τῶν ἐπειγόντων καταπραττόμενος, ἑσπέρας δ’ ἀπῄει[2] κοσμίως οἴκαδε παρακολουθοῦντος τοῦ ἀνθρώπου καὶ πάσῃ χρωμένου βλασφημίᾳ πρὸς αὐτόν. Ὡς δ’ ἔμελλεν εἰσιέναι σκότους ὄντος ἤδη, προστάσσει τινὶ τῶν οἰκετῶν φῶς λαμβάνοντι παραπέμπειν πρὸς τὴν οἰκίαν τὸν ἄνθρωπον.